*Ἐν δ' ἥβηι πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν,*
*ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον·*
*ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν·*
*τούτων οὐδὲν ⟨ἔην⟩ ἄλλ' ἐπιτερπνότερον*
*ἀνδράσιν ἠδὲ γυναιξί. τί μοι πλοῦτός τε καὶ αἰδώς;*
*τερπωλὴ νικᾶι πάντα σὺν εὐφροσύνηι.*

*Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας*
*κλαίουσ', οὐ δ' ἥβης ἄνθος ἀπολλύμενον.*
*τέρπεό μοι, φίλε θυμέ· τάχ' αὖ τινες ἄλλοι ἔσονται* 1070 a
*ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.* b

*Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος,* 1071
*συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.*
*νῦν μὲν τῶιδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν.*
*κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.*

*Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν*
*γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι·*
*ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι*
*οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.*

*Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,*
*οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.*
*'Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκηι ἄνδρα*
*ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος·*
*ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ* 1082 a
*τετράφαται πολλὴν εἰς κακότητα πεσεῖν.'* b